www.tezaurliturgic.ro

# Ἀπριλίου Α΄. Μνήμη τῆς ὁσίας μητρὸς ἡμῶν Μαρίας τῆς Αἰγυπτίας.

Ποίημα Γερασίμου μοναχοῦ Μικραγιαννανίτου.

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τῆς ἁμαρτίας τὴν ζάλην φυγοῦσα πάνσεμνε, λιμένι προσωρμίσθης, γαληνῷ μετανοίας, Μαρία καὶ δακρύων τοῖς ὀχετοῖς, τὴν μανίαν κατέκλυσας, τοῦ ἀρχεκάκου βελίαρ καὶ ἐν σαρκί, ὥσπερ ἄγγελος ἐβίωσας.

Ἐν τῇ Σιὼν παραγένου καὶ τοῦ Σταυροῦ τὴν ἰσχύν, ἀναλαβοῦσα μῆτερ, ἐν ἐρήμῳ προσῆλθες, στερρῶς τοῦ Ἰορδάνου καὶ ἐν αὐτῇ, ὥσπερ ἄσαρκος ἔζησας, τῇ ἰσαγγέλῳ ἀσκήσει ὡς ἀληθῶς, καὶ Κυρίῳ εὐηρέστησας.

Ὁ Ζωσιμᾶς ὁ θεόφρον μῆτερ ὡς εὗρέ σε, ἐν τῇ ἐρήμῳ μόνην, ἐξεπλάγη Μαρία, ἀκούσας δὲ ρημάτων σου τῶν σεπτῶν, τὸν Χριστὸν ἐμεγάλυνε, τὸν δεδωκότα σοι δύναμιν καὶ ἰσχύν, δι’ ἧς ἔζησας ὡς ἄγγελος.

Τῆς μετανοίας τὸ ἄνθος τὸ εὐωδέστατον, Μαρίαν τὴν ὁσίαν, τῆς Αἰγύπτου τὸ θρέμμα, τιμήσωμεν ἀξίως καὶ πρὸς αὐτήν, ἐκ ψυχῆς ἐκβοήσωμεν· ὑπὲρ ἡμῶν τὸν Σωτῆρα μῆτερ, ἀεί, καθικέτευε δεόμεθα.

Δόξα. Ἦχος α΄.

Τῇ ὑπὲρ φύσιν πολιτείᾳ σου, τῆς ἁμαρτίας τὸν ῥύπον ἀπέκλυνας, ὁσία μῆτερ Μαρία· καὶ τῆς ἀφθαρσίας τὴν ὑπέρλαμπρον στολήν, ἀσκητικοῖς ἐνδυσαμένη πόνοις, τῆς μετανοίας τύπος γέγονας, πᾶσιν ἀνθρώποις. Ἀλλ’ ὡς τῆς ἄνω ζωῆς ἀπολαβοῦσα τὴν ἀπόλαυσιν, καὶ τῶν καμάτων δεχομένη τὰς ἀμοιβάς, ἀδιαλείπτως πρέσβευε, ὑπὲρ τῶν τιμώντων σε.

Καὶ νῦν. Θεοτοκίον.

Ἁμαρτωλῶν τὰς δεήσεις προσδεχομένη, καὶ θλιβομένων στεναγμὸν μὴ παρορῶσα, πρέσβευε τῷ ἐξ ἁγνῶν λαγόνων σου, σωθῆναι ἡμᾶς, Παναγία Παρθένε.

Εἰς τὸν στίχον, στιχηρὰ προσόμοια.

Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Ῥύπου ἁμαρτιῶν ἐκκαθαρθεῖσα μῆτερ, ἀγῶσιν ἐγκρατείας, Μαρία μετανοίας, τὸ φῶς τοῖς πᾶσιν ἔλαμψας.

Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι, καὶ εἰσήκουσε τῆς δεήσεώς μου.

Ἔφριξε κατιδών ὁ Ζωσιμᾶς σε μῆτερ γυμνὴν ἐν τῇ ἐρήμῳ, καὶ τῆς σῆς πολιτείας, ἐθαύμασε τὴν ἄσκησιν.

Στίχ. Ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατηύθυνε τὰ διαβήματά μου.

Ἄγγελος ἐν σαρκί, ἐν τῇ ἐρήμῳ ὤφθης, Μαρία θεοφόρε, καὶ Ἰορδάνου ρεῖθρα, ἀβρόχως διεπέρασας.

Δόξα. Τριαδικόν.

Ἔχουσα ὦ Τριάς, Ὑπέρθεε Θεότης, Μαρία ἡ ὁσία, τὴν θείαν δύναμίν σου, ὡς ἄγγελος ἐβίωσεν.

Καὶ νῦν. Θεοτοκίον.

Ἤκουσας τῆς φωνῆς, τῆς Θεοτόκου μῆτερ, ἐκ τῆς σεπτῆς εἰκόνος, καὶ ἔσπευσας πληρῶσαι, ἅπερ συνέθου πρότερον.

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν προοιμιακόν, στιχολογοῦμεν τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τό· Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ς΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσιν.

Ἁμαρτίας τὴν ζόφωσιν, καὶ τοῦ κόσμου τὸ μάταιον, νουνεχῶς κατέλιπες νεύσει κρείττονι, καὶ μετανοίας τοῖς δάκρυσι, σαὐτὴν ἐκκαθάρασα, ὡς λαμπὰς φωτοειδὴς, τῇ ἀσκήσει σοῦ ἔλαμψας καὶ κατηύγασας, πανοσία Μαρία τοὺς ἐν σκότει, τῶν παθῶν κεκρατημένους, τῇ δυναστείᾳ τοῦ δράκοντος.

Ἐν ἐρήμῳ ὡς εἶδέ σε, Ἰορδάνου ὁ ὅσιος, Ζωσιμᾶς ἐξίστατο τῷ θεάματι· ἐν γυναικείῳ γὰρ σώματι, γυμνὴ ὡς ἀσώματος, ἠγωνίσω ἀνδρικῶς, ᾧ καὶ πάντα ἱστόρησας, τὰ τοῦ βίου σου, θεοφόρε Μαρία καὶ τῷ κτίστῃ, ᾖσεν ὕμνον τῷ ἐν πᾶσι, σὲ θαυμαστῶς ἐνισχύσαντι.

Ἰορδάνου τοῖς ὕδασι, θαυμαστῶς ἐπιβαίνουσα, τὴν ἐν σοὶ λαμπρότητα πᾶσιν ἔδειξας, καὶ ὡς ἐπόθεις τοῦ σώματος, Χριστοῦ ὡς μετέσχηκας, ταῖς χερσὶ τοῦ Ζωσιμᾶ, χαρμοσύνως ἀνέδραμες πρὸς οὐράνια, καὶ τὸ σῶμα σου μῆτερ ἐκηδεύθη, παρ' αὐτοῦ τὰς ἀρετάς σου, παντὶ τῷ κόσμῳ κηρύξαντος.

Εἶτα τοῦ μηναίου γ΄.

Δόξα. Ἦχος β΄. Τοῦ μηναίου.

Τὰ τῆς ψυχῆς θηρεύματα...

Καὶ νῦν. Θεοτοκίον.

Παρῆλθεν ἡ σκιὰ τοῦ νόμου, τῆς χάριτος ἐλθούσης· ὡς γὰρ ἡ βάτος οὐκ ἐκαίετο καταφλεγομένη, οὕτω παρθένος ἔτεκες, καὶ παρθένος ἔμεινας, ἀντὶ στύλου πυρός, δικαιοσύνης ἀνέτειλεν ἥλιος, ἀντὶ Μωυσέως Χριστός, ἡ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα
(Κεφ. γ΄ 1 - 9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα
(Κεφ. ε΄ 15 - ς΄ 3).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας, πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε, μάθετε, δικασταὶ περάτων γῆς, ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν, ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα
(Κεφ. δ΄ 7 - 15).

Δίκαιος δὲ ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος τῷ Θεῷ γενόμενος ἠγαπήθη καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ

μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐκλεκτοῖς ἐν τοῖς αὐτοῦ.

Εἰς τὴν Λιτήν, ἰδιόμελα.

Ἦχος α´.

Εὐφράνθη τὴν ἐν Κυρίῳ χαράν, ὁ θεοφόρος Ζωσιμᾶς, ἡνίκα εὗρε ἐν ἐρήμῳ σε, ὁσία μῆτερ Μαρία· καὶ τὰ τοῦ βίου σου μυηθείς, καὶ πιστῶς διακονήσας σοι, πᾶσι μετέδωκε, τὰ τῆς πολιτείας σου κατορθώματα· μεθ’ οὗ νῦν ἀγαλλομένη, ἐν τῇ ἀλήκτῳ δόξῃ τῆς ἀϊδίου ζωῆς, σὺν αὐτῷ ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος β´.

Τῆς ἁμαρτίας τὰς παγίδας διαδρᾶσα, ἐν ταπεινώσει Χριστῷ, προσέδραμες, τοῖς οἰκτιρμοῖς αὐτοῦ προσπέσασα· καὶ τὴν πανάχραντον αὐτοῦ μητέρα, ἐγγυήτριαν θεμένη, πρὸς μετανοίας τοὺς ἀγῶνας ἀπεδύσω, ἐν ἀσκητικῇ ζωῇ, γυναικείαν ἀσθένειαν ἀπορρίψασα, ἐν ἀνδρείῳ φρονήματι· διὸ ἄγγελοι ἐθαύμασαν, τῆς ὑπομονῆς σου τὸ στερρόν καὶ δαίμονες ἔφριξαν, τῆς σῆς ψυχῆς τὴν καρτερίαν. Ἀλλ’ ὦ Μαρία πανθαύμαστε, τῷ σὲ δοξάσαντι Χριστῷ πρέσβευε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος γ´.

Ἀποβαλοῦσα πᾶν γήινον καὶ τερπνόν, καὶ τὴν θείαν ἰσχὺν ἐνδυσαμένη, τοῦ Ἰορδάνου τὴν ἔρημον κατέλαβες, Μαρία ὁσία ἰσάγγελε· καὶ συντόνῳ ἐγκρατείᾳ καὶ σκληροτάτῃ ἀσκήσει, καὶ γυμνότητι σαρκός, τῶν ποικίλων προσβολῶν καὶ ἐπηρειῶν, περιεγένου τοῦ πολεμήτορος· καὶ ἀνωτέρα πάντων ὀφθεῖσα, τοῦ μέλλοντος αἰῶνος τὴν ζωὴν ὑπέδειξας, ἐν τῷ ὑλαίῳ σου σώματι. Ἀλλ’ ὡς ἀγγέλοις συνοῦσα, ἱκέτευε δεόμεθα, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος δ´.

Τοῦ ζωοποιοῦ Σταυροῦ, τὸ τίμιον ξύλον προσκυνήσασα, παντὶ τῷ κόσμῳ ἐσταυρώθης, ἀνενδότῳ καρδίᾳ· τῇ γὰρ χάριτι αὐτοῦ, τὰ πάθη ἐνέκρωσας, καὶ τὴν ἀνομίαν ὁλοσχερῶς ἐμίσησας· καὶ ἀσκητικῶν ἀρετῶν δοχεῖον γενομένη, κατ’ ἀξίαν ἠξίωσαι τῆς ἄνω δόξης Μαρία μακαρία, ἀγγέλων ἰσοστάσιε.

Δόξα. Ἦχος ὁ αὐτός.

Τὴν ἐν μετανοίᾳ περιβόητον ὁσίαν, καὶ ἐν ἀσκητικοῖς ἀγῶσιν ὑπερθαύμαστον, Αἰγύπτου τὸ κάλλιστον θρέμμα, Μαρίαν τὴν θεόφρονα, ὕμνοις καὶ ᾠδαῖς εὐφημήσωμεν· φυσικῆς γὰρ ἀσθενείας ὑπερβᾶσα τοὺς ὅρους, ὑπὲρ φύσιν ἠγωνίσατο, μονωτάτῃ ἐν τῇ ἐρήμῳ τοῦ Ἰορδάνου· καὶ ὑπερφυῶς παρὰ Χριστοῦ δοξασθεῖσα, πᾶσι προβάλλεται τῆς μετανοίας τοὺς καρπούς, καὶ πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων, τοὺς δούλους σου φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν στίχον, στιχηρὰ προσόμοια.

Ἦχος β´. Ὅτε ἐκ τοῦ ξύλου.

Ὅτε εἰς τὸν ἅγιον ναόν, εἴργου εἰσελθεῖν τοῦ Ὑψίστου, δι’ ἀοράτου ῥοπῆς τότε ἀνανήψασα τῶν μολυσμῶν τῆς σαρκός, τὴν ἁγνὴν Θεομήτορα, θερμῇ μεταγνώσει, μῆτερ καθικέτευες, τυχεῖν τοῦ πόθου σου. Ὅθεν τὸν Σταυρὸν τοῦ Κυρίου, πίστει προσκυνήσασα τρίβον, τὴν πρὸς τὸν Θεὸν φέρουσα ὥδευσας.

Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι, καὶ εἰσήκουσε τῆς δεήσεώς μου.

Ὅτε Ἰορδάνου τὰς ῥοάς, πίστει διαβᾶσα εἰσῆλθες, εἰς τόπον ἔρημον, τότε βίον ἄσαρκον Μαρία ἔζησας, ἐγκρατείᾳ καὶ δάκρυσι, καὶ πόνοις ἀτρύτοις, πλείστοις χρόνοις πάνσεμνε, ἱλεουμένη Θεόν· ὅθεν λαμπρυνθεῖσα θεόθεν, ὤφθης λαμπηδὼν μετανοίας, καὶ τοῦ Παρακλήτου σκεῦος τίμιον.

Στίχ. Ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατηύθυνε τὰ διαβήματά μου.

Ὅτε Ζωσιμᾶς ὁ ἱερός, εὗρεν ἐν ἐρήμῳ σε μῆτερ, ἐν σοὶ ἐξίσταντο· τούτῳ γὰρ ὡς ἄγγελος Μαρία πέφηνας, τῇ γυμνώσει τοῦ σώματος, καὶ τοῖς σκληροτάτοις, πόνοις τῆς ἀσκήσεως, τῆς πολιτείας σου. Ὅθεν σὺν αὐτῷ νῦν δυσώπει, δοῦναι τοῖς πιστῶς σε τιμῶσι, πῦρ τῆς μετανοίας τὸ σωτήριον.

Δόξα. Ἦχος πλ. δ´.

Τῆς ἐν ἀσκήσει σου ζωῆς, τὰ ἐξαίρετα

τρόπαια, πᾶσαν ἀκοήν καταπλήττουσι, Μαρία μῆτερ ἰσάγγελε· οὐδόλως γὰρ ἔδεισας τὴν ἀσθένειαν τῆς φύσεως, ἀλλ' ἀνδρείως ἀντικατέστης, τῷ ἄρχοντι τοῦ σκότους, καὶ τοῦτον εἰς τέλος κατεπάλαισας, συντονωτάτοις πόνοις σου· διὸ ἄγγελοι ἐθαύμασαν, τὴν πολιτείαν σου πάνσεμνε, ἡ δὲ ἔρημος τοῦ Ἰορδάνου, ἠρδεύθη τοῖς ἱδρῶσί σου, καὶ Χριστὸς ὁ Κύριος, ἀξίως σε ἐδόξασεν· ᾧ πρέσβευε ὁσία, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Και νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Νῦν ἀπολύεις, τὸ τρισάγιον καὶ τὰ ἀπολυτίκια.

Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Φωτισθεῖσα ἐνθέως Σταυροῦ τῇ χάριτι, τῆς μετανοίας ἐδείχθης φωτοφανὴς λαμπηδών, τῶν παθῶν τὸν σκοτασμὸν λιποῦσα πάνσεμνε· ὅθεν ὡς ἄγγελος Θεοῦ, Ζωσιμᾷ τῷ ἱερῷ, ὡράθης ἐν τῇ ἐρήμῳ, Μαρία ὁσία μῆτερ· μεθ' οὗ δυσώπει ὑπὲρ πάντων ἡμῶν.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος χαῖρε τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ, χαῖρε ἀχείμαστε λιμὴν καὶ ἀπειρόγαμε, ἡ τεκοῦσα ἐν σαρκὶ τὸν ποιητὴν σου καὶ Θεόν, πρεσβεύουσα μὴ ἐλλείπῃς, ὑπὲρ τῶν ἀνυμνούντων, καὶ προσκυνούντων τὸν τόκον σου.

## ΕΝ ΤΩ͂ ΟΡΘΡΩ͂

Μετὰ τὴν α΄ στιχολογίαν, κάθισμα.
Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Λιποῦσα τῆς σαρκός, τὰς δυσώδεις ὀρέξεις, προσῆλθες τῷ Χριστῷ, ἐν θερμῇ μετανοίᾳ, καὶ τούτῳ ὡς ἀρώματα, τῶν δακρύων τὰ χεύματα, προσενήνοχας, ἐν ἐρήμῳ βιοῦσα, ὥσπερ ἄγγελος, μῆτερ ὁσία Μαρία· διό σε γεραίρομεν.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Προσπέσασα πιστῶς, τῇ σεπτῇ σου εἰκόν, καὶ χάριν παρ' αὐτῆς, ὥσπερ ᾔτει λαβοῦσα, ἐνθέως ἐξεπλήρωσεν, ἃ ὑπέσχετο Ἄχραντε, προσχωρήσασα, ἐν Ἰρδάνου τῇ χώρᾳ, καὶ βιώσασα, ὑπερφυῶς ἡ Μαρία, ὑμνοῦσα τὴν δόξαν σου.

Μετὰ τὴν β΄ στιχολογίαν, κάθισμα.
Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὡς θησαυρὸν ἐν τῇ ἐρήμῳ εὑρών σε, ὁ θεοφόρος Ζωσιμᾶς ἐξεπλάγη, τὴν σκληροτάτην μῆτερ πολιτείαν σου· ὅθεν καὶ τοῖς πέρασι, σὲ γνωστὴν καταστήσας, ἅπαντες θαυμάζουσι, τὴν ζωήν σου ὁσία· σὺ γὰρ Μαρία ἔδειξας ἡμῖν, τῆς μετανοίας, τὸν ὅρον τὸν τέλειον.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Τὸν ὑπερούσιον Θεὸν τετοκυῖα, ἀναλαβόντα τῶν βροτῶν τὴν οὐσίαν, ἐκ τῶν ἁγνῶν αἱμάτων σου Πανάχραντε, θρόνος ὤφθης ἔμψυχος, τοῦ Θεοῦ τῶν ἁπάντων, τοῦτον ὥσπερ νήπιον, ταῖς χερσί σου κρατοῦσα· ὃν ἐκδυσώπει σώζεσθαι ἡμᾶς, τοὺς μεγαλύνοντας, κόρη τὴν δόξαν σου.

Μετὰ τὸν πολυέλεον, κάθισμα.
Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Μετανοίας τὴν φλόγα τὴν μυστικήν, δεξαμένη ὁσία ἐν τῇ ψυχῇ, κόσμου τὴν τερπνότητα, καὶ φθαρτῶν τὴν εὐπάθειαν, καὶ σαρκικὰς ὀρέξεις, ἐμφρόνως ἐμίσησας, σοφῶς ἀνελομένη, ζωὴν τὴν ἰσάγγελον· ὅθεν ἐξεπλάγη, Ζωσιμᾶς σε ὡς εἶδε, καὶ πᾶσιν ἐκήρυξε, τὰ λαμπρὰ κατορθώματα, ὦ Μαρία τοῦ βίου σου· μεθ' οὗ ἀεὶ δυσώπει Χριστόν, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Ἐν γαστρὶ συλλαβοῦσα ὑπερφυῶς, καὶ τεκοῦσα Παρθένε μετὰ σαρκός, ἀτρέπτως δι' ἔλεος, τὸν τῶν ὅλων δεσπόζοντα, ᾧ ἐν ἐρήμῳ πόνοις, ἀμέτροις ἀσκήσεως, ἐλάτρευσεν ὁσίως, Μαρία ἡ πάνσεμνος. Ὅθεν ὡς Ἀγγέλων, βασιλὶς καὶ ἀνθρώπων, ἐχθροῦ τοῦ ἀλάστορος, καθ' ἡμῶν τὰ βουλεύματα, Θεοτόκε κατάβαλε, πρεσβεύουσα τῷ σῷ Υἱῷ καὶ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς προσκυνοῦσιν ἐν πίστει, τὸν ἄσπορον τόκον σου.

Οἱ Ἀναβαθμοί, ἤτοι· τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον.

Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι, καὶ εἰσήκουσε τῆς δεήσεώς μου.

Στίχ. Ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατηύθυνε τὰ διαβήματά μου.

Εὐαγγέλιον ζήτει τῇ ε΄ Δεκεμβρίου.

Ὁ ν΄ ψαλμός.

Δόξα. Ταῖς τῆς σῆς ὁσίας.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Ἰδιόμελον. Ἦχος πλ. β΄.

Τῶν ἀρετῶν σου τῷ φωτί, ὁ τοῦ σκότους ἄρχων, ὁ πρώην πτερνίσας σε, εἰς τέλος ἠμαυρώθη καὶ πέπτωκεν, ὁσία μῆτερ Μαρία· ἔξω κόσμου καὶ σαρκὸς γάρ, ἐβιώσω θεόφρον, καὶ τὴν ἔρημον ἡγίασας, τῇ στερροτάτῃ ἀσκήσει σου· καὶ νῦν ἐν οὐρανίοις σκηνώμασι χορεύουσα, καὶ ἐν μεθέξει θεουμένη, πρέσβευε ἀπαύστως, σώζεσθαι τοὺς σὲ μακαρίζοντας.

Εἶτα οἱ κανόνες· τῆς Θεοτόκου καὶ τῆς ἁγίας ἐκ τοῦ μηναίου.

Κοντάκιον.
Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῆς ἁμαρτίας τὴν ἀχλὺν ἐκφυγοῦσα, τῆς μετανοίας τῷ φωτὶ αὐγασθεῖσα τὴν σὴν καρδίαν ἔνδοξε προσῆξας τῷ Χριστῷ, τούτου τὴν Πανάμωμον, καὶ ἁγίαν Μητέρα, πρέσβυν συμπαθέστατον, προσενέγκασα· ὅθεν, καὶ τῶν πταισμάτων εὗρες ἱλασμόν, καὶ σὺν Ἀγγέλοις, Μαρία ἀγάλλεται.

Ἕτερον.
Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.

Τοῖς τῶν ἀγώνων σου πόνοις θεόληπτε, τὸ τῆς ἐρήμου τραχὺ καθηγίασας· διό σου τὴν μνήμην δοξάζομεν, ἐν ὑμνῳδίαις Μαρία τιμῶντές σε, ὁσία ὁσίων ἀγλάισμα.

Ἐξαποστειλάρια.
Ἦχος β΄. Γυναῖκες ἀκουτίσθητε.

Ἀσκητικῶς ἐνέκρωσας, σαρκός σου τὰ σκιρτήματα, καὶ μολυσμῶν ἁμαρτίας, ἀπέπλυνας πάντα ῥύπον, τοῖς ῥείθροις τῶν ἱδρώτων σου, Μαρία πανσεβάσμιε, καὶ καθαρὰ καὶ ἄμωμος, τελέσασα τὸν ἀγῶνα, τῷ Ζωοδότῃ προσήχθης.

Θεοτοκίον.

Θεὸν τὸν Ὑπερούσιον, σωματικῶς ἐκύησας, ἀτρέπτως καὶ ἀσυγχύτως, εἰς σωτηρίαν τοῦ κόσμου· διό σε μεγαλύνομεν, Μαρία Ἀειπάρθενε, καὶ προσκυνοῦμεν Δέσποινα, τὸ τοῦ ἀφράστου τόκου σου, μυστήριον ὄντως μέγα.

Εἰς τοὺς αἴνους ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσιν.

Τῶν παθῶν καταλείψασα, θεοφόρε τὴν Αἴγυπτον, τῷ Χριστῷ προσέδραμες μετὰ πίστεως, καὶ μετανοίας τοῖς δάκρυσι, σαυτὴν ἐκκαθάρασα, ἐλαμπρύνθης τῷ φωτί, ἀπαθείας καὶ χάριτος, τῆς τοῦ Πνεύματος· διὰ τοῦτο νυμφῶνος οὐρανίου, ἐπαξίως ἠξιώθης, Μαρία μῆτερ ἀοίδιμε.

Τὸν Σταυρὸν προσκυνήσασα, σεαυτὴν ἀνεσταύρωσας, τοῖς τοῦ κόσμου ἅπασι θερμῷ ἔρωτι, καὶ Ἰορδάνου τὴν ἔρημον, Μαρία οἰκήσασα, ὑπερκόσμιον ζωήν, μετὰ σώματος ἔζησας, καὶ ἐνέκρωσας, τῶν παθῶν τὰς ὁρμὰς τελείως μῆτερ· διὰ τοῦτο μετὰ τέλος, ζωῆς τῆς ἄνω τετύχηκας.

Ὡς εὑρὼν ἐν ἐρήμῳ σε, Ζωσιμᾶς ὁ μακάριος, τῆς σῆς πολιτείας τρόπον τὸν ἄυλον, μῆτερ Μαρία ἐθαύμαζε· πῶς πλείστοις ἐν ἔτεσι, ζωὴν ἤνυσας σκληράν, ἐν νηστείᾳ καὶ δάκρυσι, καὶ γυμνότητι· καὶ κηδεύσας τὸ σῶμά σου ὁσία, αἶνον ᾖδε τῷ Κυρίῳ, τῷ σὲ λαμπρῶς ἐνισχύσαντι.

Τῆς σαρκὸς τὴν βαρύτητα, ἐγκρατείας τοῖς σκάμμασιν, ὥσπερ ἀχθοφόρημα ἀπορρίψασα, ἄυλος ὤφθης ἐν σώματι, Μαρία πανεύφημε, καὶ ἀβρόχοις σου ποσίν, ἐνεργείᾳ τῇ κρείττονι διαβαίνουσα, Ἰορδάνου τὰ ῥεῖθρα τῆς μελλούσης, εὐκληρίας ὑπεμφαίνεις, περιφανῶς τὴν λαμπρότητα.

Δόξα. Ἦχος πλ. α΄.

Τῆς οἰκείας φύσεως, ἐπιλαθομένη ὁσία,

πρὸς ἀσκητικοὺς καμάτους ἀπεδύσω, στερροτάτῳ φρονήματι· ὢ τῆς ἀνδρείας σου! πῶς γυνὴ καὶ γυμνή, τὸν μέγαν ἀγῶνα, ἐν τῇ ἐρήμῳ διήνυσας, παμμακάριστε μῆτερ; Ἀλλ᾽ ὡς ἐπαξίας ἀμοιβάς, ἐν τῇ ἄνω βασιλείᾳ λαβοῦσα, παρὰ τοῦ δικαίου μισθαποδότου Χριστοῦ, ὑπὲρ ἡμῶν ἱκέτευε, Μαρία ἀξιύμνητε.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος, τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγήν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

## ΕΝ ΤΗ͂Ι ΛΕΙΤΟΥΡΓΙΑ͂Ι

Τὰ τυπικά καὶ εἰς τοὺς μακαρισμοὺς ἡ γ΄ καὶ ἡ ς΄ ᾠδὴ τοῦ κανόνος τῆς ἁγίας. Ἀπόστολον καὶ Εὐαγγέλιον ὅρα μηνολόγιον.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούια.

Μεγαλυνάριον.

Αἴγυπτον φυγοῦσα τὴν τῶν παθῶν, δάκρυσιν ἐκπλύνεις, ἁμαρτίας τὸν μολυσμόν, καὶ ἐν τῇ ἐρήμῳ, τοῦ Ἰορδάνου μῆτερ, ὡς ἄγγελος Μαρία, ὄντως ἠγώνισαι.

Δίστιχον.

Μαρία μετάνοιαν γνησίαν δίδου
Γερασίμῳ μέλψαντι τὰς ἀρετάς σου.